ΤΗ ΙΔ΄ ΤΟΥ ΜΗΝΟΣ ΝΟΕΜΒΡΙΟΥ

† Μνήμη τοῦ ἁγίου ἐνδόξου καὶ πανευφήμου Ἀποστόλου Φιλίππου, τοῦ ἁγίου Πατρὸς ἡμῶν Γρηγορίου τοῦ Παλαμᾶ, καὶ τοῦ ἁγίου Νεομάρτυρος Κωνσταντίνου τοῦ Ὑδραίου.

* * *


ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὸν Ἑξάψαλμον,

Συναπτὴ μεγάλη, μεθ᾽ ἣν ἐκφώνησις·

Ὅτι πρέπει σοι πᾶσα δόξα...


Ἦχος Γα



Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.


Στίχ. β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.


Στίχ. γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.




ΑΠΟΛΥΤΙΚΙΑ

Ἦχος Γα





Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.



Συναπτὴ μικρά, μεθ' ἣν ἐκφώνησις·

Ὅτι σὸν τὸ κράτος...

* * *

ΚΑΘΙΣΜΑΤΑ


Τῆς Ὀκτωήχου.


Οἱ χοροὶ ἐναλλὰξ ψάλλουν τὰ ὑμνολογικὰ καθίσματα τῆς Παρακλητικῆς, κατόπιν δὲ ὁ ν΄ ψαλμὸς χῦμα.

Μετὰ τὴν α΄ Στιχολογίαν, Καθίσματα.


Μαρτυρικά.

Ἀγγελικαὶ δυνάμεις. Ἦχος 







Στίχ. Θαυμαστὸς ὁ Θεὸς




Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ,





Δόξα. Καὶ νῦν. Θεοτοκίον τὸ α΄.

Ἦχος  Βου





Μετὰ τὴν β΄ Στιχολογίαν.

Κάθισμα Μαρτυρικόν.

Ἦχος  Δι

Δοσιθέου Κατουνακιώτου.





Στίχ. Μακάριοι οὓς ἐξελέξω






Νεκρώσιμον


Τῆς ἀκολουθίας τοῦ Μηναίου στερουμένης σταυροθεοτοκίων, εἴθισται πολλαχοῦ, καταλιμπανομένων τῶν νεκρωσίμων καθισμάτων τῆς β΄ στιχολογίας, νὰ ψάλληται (μετὰ τὸ Μαρτυρικὸν) Δόξα, Καὶ νῦν τὸ θεοτοκίον.


Ἦχος



Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Ἐλπὶς τοῦ κόσμου ἀγαθή. Ἦχος





Εἶτα τὸν ν΄ ψαλμόν, χύμα.

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ

εὐδοκήσεις.
Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.
Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.
Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.
Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

* * *

Κανόνες οἱ δύο τῆς Παρακλητικῆς καὶ ὁ τοῦ Μηναίου.

Τῆς Ὀκτωήχου.
Κανὼν εἰς πάντας τοὺς Ἁγίους
(Παρακλητικῆς), οὗ ἡ Ἀκροστιχίς.
Λόγοις γεραίρω τοὺς ἐραστὰς τοῦ Λόγου. Ἰωσήφ.
Ὁ Εἱρμός. Ἦχος πλ. β΄.

Ὁ αἰσθητὸς Φαραώ, κατεποντίσθη πανστρατί, Ἰσραὴλ δὲ διελθῶν, ἐν μέσῳ τῆς θαλάσσης ἀνεβόα, Κυρίῳ τῷ Θεῷ ἡμῶν ἄσωμεν, ὅτι δεδόξασται.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Λελαμπρυσμένῳ νοΐ, τοὺς σκοτεινοὺς περὶ τὸ φῶς, δυσσεβοῦντας τυράννους οἱ Μάρτυρες αἰσχύναντες, πρὸς ἀνέσπερον φέγγος, νικηφόροι γενόμενοι, σοφῶς μετέβησαν.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Οἱ Ἱεράρχαι Χριστοῦ, τῶν Ὁσίων ὁ χορός, Προφητῶν καὶ Δικαίων ἁπάντων ὁμήγυρις, ἀρετῶν ταὶς ἰδέαις, ἀστραπτόμενοι ἔφθασαν, πρὸς οὐρανίους σκηνάς.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Γυναίων πᾶσα πληθύς, προσωκειώθη τῷ Θεῷ, καὶ τὴν Εὔαν τὸν δεινῶς ἀπάτη θανατώσαντα, συμπατήσασα πόνοις, ἀνδρικοὶς μακαρίζεται, ἐνθέοις ἄσμασι.

Στίχ. Μακάριοι οὓς ἐξελέξω καὶ προσελάβου, Κύριε

Νεκρώσιμον

Ὁ ἀπὸ γὴς κατ΄ ἀρχάς, πλάσας τὸν ἄνθρωπον Χριστέ, τὰς ψυχὰς τῶν σῶν δούλων, ἀνάπαυσον δεόμεθα, ἐν σκηναῖς τῶν δικαίων, καὶ ἐν τόποις ἀνέσεως, ὡς Ὑπεράγαθος.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Ἱερωτέρα Ἀγνή, τῶν Χερουβὶμ καὶ Σεραφείμ, ἀνεδείχθης τεκοῦσα, τὸν ποιητὴν τῆς κτίσεως, ὃν ἀπαύστως δυσώπει, οἰκτειρῆσαι τοὺς δούλους σου, τοὺς σὲ δοξάζοντας.

Ὁ νεκρώσιμος κανὼν καταλιμπάνεται ἐὰν πρόκηται νὰ ψαλῇ δοξολογία μεγάλη.

Κανὼν εἰς Κοιμηθέντας
(Παρακλητικῆς), οὗ ἡ Ἀκροστιχίς.
Ἕκτον προσαυδῶ τοὶς ἀπελθοῦσι μέλος.
Ποίημα Θεοφάνους.
Ἦχος πλ. β΄. Ὡς ἐν ἠπείρῳ πεζεύσας.

Στίχ. Πρεσβείαις, Κύριε, τῶν μαρτύρων σου ἀνάπαυσον τὰς ψυχὰς τῶν δούλων σου

Ἐν οὐρανίοις θαλάμοις διηνεκῶς, οἱ γενναῖοι Μάρτυρες, δυσωπούσί σε Χριστέ. Οὓς ἐκ γῆς μετέστησας πιστούς, αἰωνίων ἀγαθῶν, τυχεῖν ἀξίωσον.

Στίχ. Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς αὐλισθήσονται

Κατακοσμήσας τὰ πάντα ζῶον μικτόν, μέσον μὲ τὸν ἄνθρωπον, ταπει νότητος ὁμοῦ, καὶ μεγέθους ἔπλασας, διό, τὰς τῶν δούλων σου ψυχάς, Σῶτερ ἀνάπαυσον.

Στίχ. Καὶ τὸ μνημόσυνον αὐτῶν εἰς γενεὰν καὶ γενεάν

Τοῦ παραδείσου πολίτην καὶ γεωργόν, κατ΄ ἀρχὰς μὲ ἔταξας, παραβάντα δὲ τὴν σήν, ἐντολὴν ἐξώρισας, διό, τὰς τῶν δούλων σου ψυχάς, Σῶτερ ἀνάπαυσον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Ὁ ἐκ πλευρᾶς διαπλάσας Εὔαν τὸ πρίν, τὴν ἡμῶν προμήτορα, ἐξ ἀχράντου σου γαστρός, σάρκα περιβάλλεται δι΄ ἧς, τοῦ θανάτου τὴν Ἰσχύν, Ἁγνὴ διέλυσε.

καὶ τοῦ Ἀποστόλου ὁ παρὼν.
οὗ ἡ ἀκροστιχίς·
Τὸν εὐκλεῆ Φίλιππον ὑμνῶ προφρόνως.
Ποίημα Θεοφάνους.
Ὠδὴ α΄. Ἦχος πλ. β΄. Ὡς ἐν ἠπείρῳ πεζεύσας.

Στίχ. Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ταῖς ὑπερφώτοις ἀκτῖσι τῆς τοῦ Χριστοῦ, θεϊκῆς λαμπρότητος, ἐνηδόμενος τρανῶς, θεοκῆρυξ Φίλιππε ταῖς σαῖς, κατὰ μέθεξιν αὐγαῖς, ἡμᾶς καταύγασον.

Στίχ. Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὁ τοῦ Πατρός σοι τὴν δόξαν δι᾽ ἑαυτοῦ, ὑποδείξας Φίλιππε, τῷ χορῷ τῶν μαθητῶν, σὲ Χριστὸς ἐνέταξε τὴν σήν, προγινώσκων ἀρετήν, θεομακάριστε.

Δόξα.

Νῦν οὐκ αἰνίγμασι βλέπεις, οὐδὲ σκιαῖς, οὐδ᾽ ἐσόπτροις πάνσοφε, τὴν πηγὴν τῶν ἀγαθῶν, ὀρεκτῶν τὸ ἔσχατον Χριστόν, ἀλλὰ πρόσωπον ὁρᾷς, σαφῶς πρὸς πρόσωπον.

Καὶ νῦν. Θεοτοκίον.

Ἐκλελοιπότων ἀρχόντων ἐκ τῆς φυλῆς, τοῦ Ἰούδα Πάναγνε, ὁ Υἱός σου καὶ Θεός, προελθὼν Ἡγούμενος τῆς γῆς, τῶν περάτων ἀληθῶς, νῦν ἐβασίλευσεν.

ΩΔΗ Γ΄ ΚΑΝΟΝΩΝ

Κανὼν εἰς πάντας τοὺς Ἁγίους

Ὁ Εἱρμός. Ἦχος πλ β΄.

Ἐν τῇ στερρᾷ, τῆς πίστεώς σου πέτρα, τὸν λογισμὸν ἑδράσας τῆς ψυχῆς μου, στερέωσον Κύριε, σὲ γὰρ ἔχω ἀγαθέ, καταφυγὴν καὶ στερέωμα.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν

Σωματικοίς, ὁμιλοῦντες νὺν πόνοις, οἱ Ἀθληταί, τὴν ἄπονον ἐσκόπουν, ἀντίδοσιν χαίροντες, καὶ νὺν παύουσιν ἡμῶν, πόνους παντοίους ἐν χάριτι.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν

Γνώμη στερρᾷ, σοβοῦντες τὰ θηρία, τὰ πονηρά, οἱ θεῖοι Ἱεράρχαι, ἐρρύσαντο ἄτρωτα, τῆς κακίας τῆς αὐτῶν, τὰ τοῦ Χριστοῦ θεία θρέμματα.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν

Ἐθελοντί, ζυγὸν τὸν τοῦ Κυρίου, ὑπεισελθῶν, χορὸς ὁ τῶν ὁσίων, ἐνέκρωσε φρόνημα, τῆς σαρκὸς καὶ τὴν ζωήν, τὴν δι΄ αἰῶνος ἀπέλαβε.

Στίχ. Μακάριοι οὓς ἐξελέξω καὶ προσελάβου, Κύριε

Νεκρώσιμον

Ῥύσαι πυρός, Χριστὲ τοῦ αἰωνίου, τοὺς εὐσεβῶς, τοῦ βίου μεταστάντας, καὶ δὸς αὐτοῖς ἄφεσιν, ὀφλημάτων ἀγαθέ, καὶ αἰωνίαν ἀπόλαυσιν.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Οἱ τὸν Χριστόν, ποθήσασαι Γυναῖκες, σὲ τὴν αὐτόν, ἀρρήτως τετοκυίαν, πανάχραντε Δέσποινα, γεγηθότι λογισμῷ, περιϊστᾶσαι νὺν χορεύουσι.

Ὁ νεκρώσιμος κανὼν καταλιμπάνεται ἐὰν πρόκηται νὰ ψαλῇ δοξολογία μεγάλη.

Κανὼν τῶν Κοιμηθέντων

Ἦχος πλ β΄. Οὐκ ἔστιν Ἅγιος ὡς σύ.

Στίχ. Πρεσβείαις, Κύριε, τῶν μαρτύρων σου ἀνάπαυσον τὰς ψυχὰς τῶν δούλων σου

Νομίμως ἤθλησαν οἱ σοί, Μάρτυρες ζωοδότα, καὶ στεφάνω τῆς νίκης, κοσμηθέντες παρὰ σοῦ, τοὶς μεταστάσι πιστοίς, αἰωνίαν λύτρωσιν αἰτούσί σε.

Στίχ. Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς αὐλισθήσονται

Παιδεύσας πρότερον πολλοίς, τέρασι καὶ σημείοις, ἐμὲ τὸν πλανηθέντα, ἐπ᾽ ἐσχάτων σεαυτόν, κενώσας ὡς συμπαθής, καὶ ζητήσας εὗρες καὶ διέσωσας.

Στίχ. Καὶ τὸ μνημόσυνον αὐτῶν εἰς γενεὰν καὶ γενεάν

Ῥεόντων ἄστατον φοράν, τοὺς πρὸς σὲ διαβάντας, ἐν σκηναῖς αἰωνίοις, κατοικεῖν χαρμονικῶς, ἀξίωσον Ἀγαθέ, δικαιώσας πίστει τε καὶ χάριτι.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Οὐκ ἔστιν ἄμεμπτος ὡς σύ, πάναγνε Θεομῆτορ, μόνη γὰρ ἐξ αἰῶνος, τὸν Θεὸν τὸν ἀληθῆ, συνέλαβες ἐν γαστρί, τοῦ θανάτου λύσαντα τὴν δύναμιν.

Καὶ τοῦ Ἀποστόλου. ὨΙδὴ γ΄.

ὨΙδὴ γ΄. Οὐκ ἔστιν ἅγιος ὡς σύ.

Στίχ. Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὑπάρχων ἔμπλεως φωτός, πρακτικῆς θεωρίας, τῷ φωτὶ τῷ μεγάλῳ, γενομένῳ μεθ᾽ ἡμῶν, κατηξιώθης Χριστῷ, λειτουργῆσαι, Φίλιππε θεσπέσιε.

Στίχ. Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Κρηπὶς δογμάτων εὐσεβῶν, ἡ σὴ μυσταγωγία, τοῖς πιστοῖς ἀνεδείχθη· δι᾽ αὐτῆς γὰρ τὸν Υἱόν, ἐπέγνωμεν συμφυῶς, ἡνωμένον, ὄντα τῷ Γεννήτορι.

Δόξα.


Λυχνία γέγονας χρυσῆ, δᾳδουχῶν τοῖς ἀνθρώποις, τὸ ἀΐδιον φέγγος, καὶ φωτίζων δι᾽ αὐτοῦ, τὴν οἰκουμένην σαφῶς, ἐπιγνώσει, Φίλιππε πανάριστε.


Καὶ νῦν. Θεοτοκίον.

Ἐπὶ σοὶ Πάναγνε σεμνή, πεποιθὼς μὴ ἐκπέσω, τῆς εἰς σὲ προσδοκίας· ἀλλ᾽ ὡς Μήτηρ συμπαθής, τοῦ φιλανθρώπου Θεοῦ, τῶν παγίδων, τοῦ ἐχθροῦ με λύτρωσαι.

Ὁ Εἱρμός.

Ἦχος πλ. Δι





Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν...

* * *

ΜΕΣΩΔΙΑ ΚΑΘΙΣΜΑΤΑ

Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Ἐλατὴρ τῶν δαιμόνων ἀναδειχθείς, καὶ φωστὴρ τῶν ἐν σκότει ἀποφανθείς, ἔδειξας τὸν Ἥλιον, ἐκ Παρθένου ἐκλάμψαντα· καὶ ναοὺς εἰδώλων, συντρίψας ἀνήγειρας, ἐκκλησίας μάκαρ, εἰς δόξαν Θεοῦ ἡμῶν· ὅθεν σε τιμῶμεν, καὶ τὴν θείαν σου μνήμην, λαμπρῶς ἑορτάζομεν, καὶ συμφώνως βοῶμέν σοι· Ἀπόστολε Φίλιππε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Δόξα. Ὅμοιον.


Ὀμβροφόρος νεφέλη πνευματική, ἀληθῶς ἀνεδείχθης τοῖς ἐπὶ γῆς, ποτίζων ὡς ἄρουραν, μυστικῶς τὰς καρδίας ἡμῶν· διαδραμὼν γὰρ τῷ λόγῳ, φωτίζεις τὰ πέρατα, καὶ ὑετοὺς προχέεις, τὰ μύρα τῇ λάρνακι· ὅθεν διαπνεύσας, ταῖς ἀπίστοις καρδίαις, ὀσμὴν τὴν τοῦ Πνεύματος, ἐν αὐταῖς ἐθησαύρισας. Ἀπόστολε Φίλιππε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.


Καὶ νῦν. Θεοτοκίον.

Τὴν ψυχήν μου Παρθένε τὴν ταπεινήν, ἀπὸ βρέφους μολύνας ὁ μιαρός, καὶ λόγοις καὶ πράξεσιν, ἐμαυτὸν κατερρύπωσα· καὶ οὐκ ἔχω τί πράξαι, οὐδὲ καταφύγιον, ἀλλ᾽ οὐδ᾽ ἄλλην ἐλπίδα, πλήν σου Κόρη ἐπίσταμαι. Φεῦ μοι τῷ ἀχρείῳ! Διὰ τοῦτο ἱκέτης, πρὸς σὲ τὴν Πανάχραντον, νῦν προστρέχω καὶ δέομαι, ὁμολογῶν σοι τό, Ἥμαρτον. Πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δοθῆναί μοι· εἰς σὲ γὰρ πᾶσαν ἐλπίδα, ἀνέθηκα Δέσποινα.

Ὁ Εἱρμός τῆς ς΄ ᾠδῆς.

Ἦχος  Βου





Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·

Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης...

* * *

ΚΟΝΤΑΚΙΟΝ, ΟΙΚΟΣ, ΣΥΝΑΞΑΡΙΟΝ

Κοντάκιον.

Ἦχος πλ. δ΄. Ὡς ἀπαρχάς.

Ὁ μαθητὴς καὶ φίλος σου, καὶ μιμητὴς τοῦ πάθους σου, τῇ οἰκουμένῃ Θεόν σε ἐκήρυξεν, ὁ θεηγόρος Φίλιππος. Ταῖς αὐτοῦ ἱκεσίαις, ἐξ ἐχθρῶν παρανόμων, τὴν Ἐκκλησίαν σου, * διὰ τῆς Θεοτόκου συντήρησον Πολυέλεε.

Ὁ Οἶκος.

Ῥεῖθρα λόγου παράσχου μοι Κύριε, ὁ ὑδάτων τὴν φύσιν δειμάμενος· τὴν καρδίαν μου στήριξον Δέσποτα, ὁ τὴν γῆν στερεώσας τῷ λόγῳ σου· καὶ φώτισόν μου τὴν διάνοιαν, ὁ τὸ φῶς ὡς χιτῶνα ἀναβαλλόμενος, ἵνα λέγω καὶ ψάλλω τὰ πρέποντα, * καὶ ἀξίως ὑμνήσω τὸν σὸν Μαθητὴν Πολυέλεε.

Συναξάριον.

Τῇ ΙΔ΄ τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ ἁγίου ἐνδόξου καὶ πανευφήμου Ἀποστόλου Φιλίππου, ἑνὸς τῆς πρώτης χορείας τῶν Δώδεκα. (~†81-96)

Στίχ. Ἀρθεὶς Φίλιππος ἐκ ποδῶν ἐπὶ ξύλου,
Τὰ τῶν ποδῶν σοι νίπτρα, Σῶτερ, ἐκτίει.
Ἤρθης κἀκκεφαλῆς δεκάτῃ, Φίλιππε, τετάρτῃ.

Οὗτος ἦν ἀπὸ Βηθσαϊδᾶ τῆς πόλεως, συμπολίτης Ἀνδρέου καὶ Πέτρου. Πολὺς δὲ ὢν τὴν σύνεσιν, ταῖς βίβλοις τῶν Προφητῶν προσκείμενος, παρθένος διὰ βίου παντὸς ἐγνωρίζετο. Τοῦτον εὑρὼν ὁ Χριστὸς μετὰ τὸ Βάπτισμα ἐν τῇ Γαλιλαίᾳ, προετρέπετο ἀκολουθεῖν. Ὁ δέ, μετὰ τοῦτο συντυχὼν τῷ Ναθαναήλ, ἔφη· Εὑρήκαμεν Ἰησοῦν τὸν Υἱὸν Ἰωσήφ, τὸν ἀπὸ Ναζαρέτ· καὶ ἄλλα πολλά ἐστιν ἰδεῖν ἐν τῇ θεοπνεύστῳ Γραφῇ κείμενα περὶ αὐτοῦ. Οὗτος οὖν τὴν Ἀσιάτιδα γῆν κληρωθείς, τὸν Βαρθολομαῖον εἶχε

συνεπόμενον, καὶ συναπτόμενον τοῦ κηρύγματος. Σαρκικὴ δὲ αὐτοῦ ἀδελφὴ οὖσα ἡ Μαριάμνη, τούτοις ἀκολουθοῦσα διηκόνει.

Ἐπεὶ δὲ τὰ τῆς Μυσίας καὶ Λυδίας διέβησαν πόλεις εὐαγγελιζόμενοι, καὶ πολλοὺς ὑπὸ τῶν ἀπίστων πειρασμοὺς καὶ θλίψεις ὑπέμειναν, μαστιγούμενοι, ῥαβδιζόμενοι, ἐγκλειόμενοι, λιθαζόμενοι, κατέλαβον τὸν ἠγαπημένον Μαθητὴν καὶ Θεολόγον Ἰωάννην, κατὰ τὴν Ἀσίαν κηρύττοντα τὸν Χριστόν· ὅτε καὶ ἡ τοῦ ἀνθυπάτου γυνὴ Νικάνορος ἐπίστευσε, καὶ ἡ τοῦ Στάχυος οἰκία ὑπὸ τοῦ ἀνθυπάτου καὶ τοῦ δήμου κατεκαύθη. Ὁ δὲ Φίλιππος, ἐπὶ τῆς πλατείας τῆς Ἱεραπόλεως συρείς, εἶτα τοὺς ἀστραγάλους τρυπηθείς, ἐπὶ τοῦ ξύλου ἀνηρτήθη· καὶ οὕτως εὐξάμενος, τῷ Θεῷ τὸ πνεῦμα παρέθετο. Αὐτίκα δὲ ἡ γῆ, τρόμῳ ληφθεῖσα καὶ ἦχον ἐκπέμψασα, ἐσχίσθη, καὶ πολλοὺς τῶν ἀπίστων κατέπιεν. Οἱ δὲ λοιποὶ φοβηθέντες, τῷ Βαρθολομαίῳ καὶ τῇ Μαριάμνῃ προσέπεσον κρεμαμένοις οὖσι καὶ αὐτοῖς. Καὶ λύσαντες αὐτούς, προσῆλθον τῇ ἀληθινῇ πίστει. Εἶθ' οὕτω συνέστειλαν τὸ λείψανον τοῦ Ἀποστόλου, καὶ τὸν Στάχυν Ἐπίσκοπον ἐν τῇ πόλει καταστησάμενοι, αὐτοὶ ἐν Λυκαονίᾳ ἐξέδραμον.

Ἐκ τῶν θαυμάτων τοῦ Ἀποστόλου.

Οὗτος ὁ φαεινότατος ἀστὴρ καὶ μέγα τοῦ Κυρίου Ἀπόστολος, ὡς ἐπ' αὐτὴν ᾖει τὴν Γαλιλαίαν κηρύσσων, ἔτι τῷ βίῳ περιών, γύναιον αὐτῷ προσυπαντᾷ, ἐκκομίζον παιδίον τεθνηκός, καὶ οἷα μήτηρ, ἀμέτρως ἐκόπτετο. Ταύτην ὁ κηρύσσων κατοικτείρας καὶ τὴν δεξιὰν τῷ τεθνηκότι προτείνας, Ἔγειραι· κελεύει σοι ὁ ὑπ' ἐμοῦ κηρυττόμενος, ἔφησεν, Ἰησοῦς ὁ Χριστός· καὶ ὁ λόγος ζωτικὴν αὐτῷ ἔδωκεν ἀνέγερσιν καὶ τῇ πενθούσῃ βακτηρίαν τὸν ἀναστάντα γενέσθαι πρὸς τὴν οἰκίαν παρεσκεύασεν. Ἡ δέ, τῶν ἰχνῶν τοῦ Θαυματουργοῦ δραξαμένη, Ὃν ἀνέστησας, ἔλεγε, δι' ὕδατος ἀναγέννησον σὺν ἐμοί. Καὶ τυχοῦσα τῆς χάριτος, Ἀπόστολος ἐγεγόνει, πᾶσιν εὐαγγελιζομένη τοῦ υἱοῦ αὐτῆς τὴν ἀνάστασιν.

Ἦγε δὲ τοῦτον (ὁ Φίλιππος) καὶ ἐπ' Ἀθήνησιν· ἔνθα τὸ ἁπλοῦν τοῦ λόγου κἂν εὐτελίζειν οἱ Ἀθηναῖοι ἐβούλοντο, ἡ πρᾶξις τῶν παραδόξων τούτοις ἀντεπισχεῖν ἔπειθε. Καὶ λοιπὸν τί δὴ πράττειν ὀφείλομεν, ἔλεγον, ἡμεῖς οἱ περὶ λόγους ἐσπουδακότες, τούτου τοῖς λόγοις ἡττώμενοι; καὶ γάρ, ὡς ὁρᾶτε, ἄγροικος οὗτος καὶ ἄπολις, ἐν δὲ τοῖς ἔργοις ἡμῶν ἐγκρατὴς καὶ περιφανὴς ἀναδείκνυται. Τοιγαροῦν δι' ἐπιστολῆς σημανοῦμεν τῷ Ἀρχιγραμματεῖ τῶν Ἰουδαίων ἐν Ἱερουσαλήμ. Καὶ τὸ δόξαν οὗτοι κρατύναντες, ἱκανὸν πρὸς τὸ λέγειν ἐξαποστέλλουσιν. Ὁ γοῦν ἀποσταλείς, ἔσω τῆς Ἱερουσαλὴμ γεγονώς, μετὰ τὴν ἐπίδοσιν τῆς γραφῆς, διὰ λόγων τοῖς ἄρχουσιν ἐπετράνωσε τὰ τῆς γραφῆς, λέγων· Τοὔνομα Φίλιππος, ἐκ τῶν ὧδέ τις λέγων εἶναι, ἀφίκετο πρὸς ἡμᾶς· ὃς ἄγροικον μὲν ἐπιφέρεται λόγον, οὐ μικρὸν δὲ τὴν ἡμῶν ἐπισείων καρδίαν καὶ πατρίδα, καινὸν διαγγέλλων ὄνομα Ἰησοῦν· ᾧ καὶ χρώμενος ἐπὶ γλώττης, ἀποτρόπαιον ἔχει δαιμόνων καὶ νοσημάτων παντοδαπῶν. Ἀλλά γε σὺν τούτοις καὶ τοῦτο κατ' ἔκπληξιν ἔπραξεν. Ἀπολιπόντα τινὰ τὸν βίον καὶ πρὸς τὸν χῶρον τῶν τεθνεώτων μεταχωρήσαντα, τῇ τοῦ Ἰησοῦ προσηγορίᾳ ἀνέστησε. Λείπεται τοιγαροῦν οἴχεσθαι τὰ ἡμῶν καὶ τὰ τούτου αὐξάνεσθαι, εἰμὴ τάχιόν τις πρὸς ἡμᾶς ἐξ ὑμῶν παραγένοιτο. Καὶ δὴ ἐξ αὐτῆς μετὰ σοβαρᾶς καὶ ἀλαζονικῆς φαντασίας τὴν Ἑλλάδα ὁ Ἀρχιγραμματεὺς καταλαμβάνει, κατὰ Φιλίππου

σφόδρα χαλεπαίνων. Καὶ μήτε ἄρτου γευσάμενος, μήτε τινὸς ἄλλου τῶν σώματι χαριζομένων, ὑψηλὸν αὐτῷ γενέσθαι βῆμα παρηγγυᾶτο. Καὶ τὴν ἔξαλλον τῆς ἀρχιερατικῆς χλαμύδα περιβαλών, εἰς τὸν δικαστικὸν πεφυσιωμένος ἄνεισι θρόνον, πάντων τῶν ἐλλογίμων τῆς πατρίδος καὶ τῶν σὺν αὐτῷ παραγενομένων μετὰ δέους παρεστηκότων. Ὅμως προσκληθεὶς ὁ Ἀπόστολος μέσον, τῷ Ἀρχιερεῖ ἀπολογησόμενος ἵστατο. Καὶ πρὸς τὸν Ἀπόστολον ὁ Ἀρχιερεὺς οὕτω προσήρετο· Οὐχ ἱκανῶς ἔχειν ἔδοξε, τὸ μοχθηρῶς ὑπεισελθεῖν σε, ἀθλιώτατε πάντων ἀνθρώπων, τῇ Ἰουδαίᾳ καὶ Γαλιλαίᾳ καὶ Σαμαρείᾳ καὶ τοὺς ἐπ᾽ αὐταῖς ἀφελεστέρους ἀποπλανῆσαι, ἀλλὰ καὶ τοὺς σοφοὺς τῶν Ἀθηνῶν ὑπενοήσω, μεμελετηκὼς τὴν ἀπάτην, πεπυκνωμένους ἄνδρας οἰόμενος ἀπατᾶν; Καὶ ὡς ἠπατημένου καὶ αὐτὸς καταφρονῶ σου τὸ παρόν· ἐπὶ δὲ τοὺς σοφούς, διδάσκων τὰ κατὰ σέ, τὸν λόγον ποιήσομαι. Ὁ τούτου Διδάσκαλος, ὦ ἄνδρες, ἐπὶ παρατροπῇ τοῦ Μωσαϊκοῦ νόμου γενόμενος, ὑφ᾽ ἡμῶν σταυρῷ τεθνάναι εὐλόγῳ νόμῳ κατεκρίθη. Καὶ γυμνὸς τῷ ξύλῳ ἀπῃωρημένος καταλειφθείς, διὰ τὸ τῆς ἡμέρας ἐπίσημον, τοῦ Πιλάτου, Ἰωσήφ τινος πλουσίου ἱκετηρίᾳ ἐπικαμφθέντος, ταφῇ συγκεχώρηται. Καὶ νόμῳ φιλίας οἱ τούτου κρατούμενοι μαθηταί, λαθραίως ἀωρὶ τοῦτον ἀποσυλοῦσιν, εἰς πολλῶν ἀπάτην ἐπιτεχνευσάμενοι τοῦτο καὶ πανταχοῦ ἐπισπείραντες ἐκ νεκρῶν ἐγηγέρθαι τὸν ἑαυτῶν ἐπιφημίζουσι Διδάσκαλον. Ἐξ αὐτῶν εἷς ἐστι καὶ ὁ Φίλιππος οὗτος, οὗ περικρατὴς ὁ βασιλεὺς ἐπιθυμεῖ γενέσθαι Ἀρχέλαος, εἰς πολλῶν ἐκδίκησιν ἀπολέσων αὐτόν. Ὅν περ, εἰ βούλεσθε, πρὸς αὐτὸν τὸ τάχος δέσμιον εἰς Ἱερουσαλὴμ ἀπαγάγετε.

Καὶ δὴ τοῦ Ἀρχιερέως παύσαντος τὸν λόγον, οἱ παρεστῶτες ἐνητένιζον τῷ Φιλίππῳ, τί πρὸς αὐτὸν ἀντερεῖ. Ἠρέμα δέπως τοῖς χείλεσιν ὑπανοίξας ὁ Φίλιππος, τῷ Ἀρχιερεῖ ἔφησεν οὑτωσί· Υἱὲ ἀνθρώπου, ἵνα τί ἀγαπᾷς ματαιότητα, καὶ λαλεῖς ψεῦδος; ἵνα τί ἐπὶ ματαίῳ τὴν καρδίαν σου βαρύνεις; οὐ χρυσοῦ σὺ τῶν φυλάκων τὰς χεῖρας ἔπλησας, εἰς τὸ πλάσασθαι τῆς ἐγέρσεως συκοφαντίαν; οὐκ οἶδας ἃς ἀναπέθου σφραγῖδας τῷ μνήματι; αὗταί σου ἐν ἡμέρᾳ ὀργῆς στηλιτεύσουσι τὸ ἀνόμημα. Ταῦτα τὸν Ἀρχιερέα μεγάλως ἐτάραξαν· θυμικῶς δὲ ὁρμήσας διαχειρίσασθαι τὸν Ἀπόστολον, οὐκ ἠδυνήθη· παρευθὺς γὰρ αἱ κόραι τῶν ὀφθαλμῶν αὐτοῦ ἀπημαυρώθησαν, καὶ τὸ περίλοιπον σῶμα ἄχρηστον ἐγεγόνει. Τότε τοῖς παρατυχοῦσι τὸ γεγονὸς γοητεία προσεδοκᾶτο. Ὅμως κατὰ τοῦ Ἀποστόλου ὁρμήσαντες, καὶ αὐτοὶ τῆς αὐτῆς πηρώσεως πεῖραν ἔλαβον. Ἀλλ᾽ ἐπεὶ οὐκ ἠγνοεῖτο τῷ Ἀποστόλῳ ἡ ἀπιστία καὶ ἄνοια, ὅτι ἐπικράτεια τῶν δαιμόνων ἄνεστι τούτοις· ἐπὶ τούτῳ οἰμώξας μέγα, Δυσωπήθητι ὑπὸ τῆς σῆς ἀγαθότητος, Κύριε, ἔλεγε, καὶ ἀμφοτέρων ἴασαι τὰ συντρίμματα, καὶ πρὸς τὴν σὴν ἐπίγνωσιν αὐτοὺς μεταποίησον. Κάτωθεν οὖν τοῦ Ἀποστόλου τὴν εὐχὴν ποιοῦντος, οὐρανόθεν ἡ ῥῶσις τοῖς πληγεῖσιν ἐχαρίζετο· καὶ τοῖς αἰσθητοῖς ὀφθαλμοῖς ἀναβλέψαντες, τὴν νοητὴν τῆς ψυχῆς ἐπεζήτουν ὑγείωσιν. Ἀλλ᾽ ἐπεὶ πολλάκις τῶν ἀστηρίκτων εὐμετάβολον τὴν γνώμην οἶδεν ὁ Ἀπόστολος εἶναι, τὸ φώτισμα τούτοις οὐκ ἐπένευσεν. Ἐκτενέστερον δὲ τοῦ Ἀποστόλου προσευξαμένου, θεία δύναμις ἐκ τοῦ οὐρανοῦ κατιοῦσα, τὰ ἀφιδρύματα τούτων πάντα κατέῤῥαξε καὶ τοὺς ἐμφωλεύοντας ἄρδην ἀπώλεσε δαίμονας, καὶ κλόνος βίαιος τότε τὴν γῆν κατεῖχε, καὶ πάντες καταφυγὴν τὸν Ἀπόστολον ἐτίθουν, μεγάλῃ κράζοντες τῇ φωνῇ· Ἰσχυρὸς Θεός ἐστιν ὁ ὑπὸ σοῦ κηρυττόμενος, καὶ τούτῳ ἀδιστάκτως πιστεύομεν καὶ χαίροντες τὸ

λουτρὸν κομιούμεθα. Καὶ ἀρξάμενος πάντας ἐβάπτισε· μόνος δὲ ὁ Ἀρχιερεύς, ἀποσπασθέντας ὡς εἶδε τοὺς ὑπ᾽ αὐτόν, τῇ τοῦ δολίου ὑποβολῇ, κατὰ τοῦ πλάστου δύσφημα ἐβλασφήμει ῥήματα. Καὶ τούτου μὴ φέρουσα τὴν παράνοιαν ἡ γῆ, πάντων ὁρώντων, ὡς ἐπὶ Δαθὰν καὶ Ἀβείρων, βιαίως τοῦτον ἔνδον αὐτῆς κατασχεθῆναι ζῶντα συνώθησε. Τότε τοὺς φωτισθέντας ὑποστηρίξας καὶ Νάρκισσόν τινα τούτοις Ἐπίσκοπον καταστήσας, οὗ ἐν τῇ πρὸς Ῥωμαίους ὁ Ἀπόστολος Παῦλος μέμνηται, αὐτὸς πρὸς Πάρθους ἀφίκετο.

Καὶ κλίνας γόνυ, ἐπίσκεψιν ἐζήτει. Καὶ αὐτίκα σχῆμα τούτῳ ἐδείκνυτο ἀετοῦ, ὑπὸ χρυσᾶς πτέρυγας, τὸν Χριστὸν εἰκονιζούσας ἐσταυρωμένον. Ὅθεν ἀναῤῥωσθείς, πάλιν εἴχετο τοῦ κηρύγματος· καὶ τὰς τῶν Κανδάκων πόλεις διαδραμών, ἐπ᾽ Ἄζωτον ἔπλει, νηὸς ἐπιβάς. Καὶ σφοδρᾶς καταιγίδος κλυδωνιζούσης τὴν ναῦν, φωτοφανὴς αὐτίκα σταυροῦ τύπος ἐπ᾽ αὐτῆς τῆς ὁλκάδος, τῆς νυκτὸς τὸ ζοφῶδες ἐπέλαμψε. Καὶ ἀποβάντες τοῦ πλοίου, ὑπὸ Ἀζωτίδος τινὸς ἐν μεσογαίῳ οἰκήματι καταχθεὶς ὁ Ἀπόστολος, τῆς ἡμέρας ἤδη πρὸς ἑσπέραν διαληγούσης, τὴν εὐχὴν παρέτεινε. Τὸ γοῦν θυγάτριον τοῦ ξενοδόχου, ἐν χρῷ τῆς σύνεγγυς θυρίδος καθιστάμενον, ὠδυνᾶτο τὸν ὀφθαλμόν· οὕτω δὲ τοῖς λόγοις τοῦ Ἀποστόλου ἡδύνετο, ὡς καὶ τῆς ὀδύνης ἐπιλαθέσθαι. Εἶτα, προσελθοῦσα τῷ οἰκείῳ πατρί, τοῦ ὀφθαλμοῦ τὴν αἰσχύνην σὺν τῇ ὀδύνῃ ὡς ἀμεληθεῖσα προσενεκάλει. Ὁ δὲ πρὸς αὐτήν· Ὑπὲρ σοῦ τάχα, τέκνον, ἔφη, προθύμως ἂν καὶ τὴν ψυχὴν προϊέμην, εἰ τοῦ σοῦ ὀφθαλμοῦ τὸ δυσειδὲς ἠδύνατό τις διορθώσασθαι. Καὶ ἡ παῖς χαριεντιζομένη, Ἔστι, πάτερ, εἰ βούλει, ὁ τῆς ὀδύνης καὶ τοῦ πάθους θεραπευτής. Καὶ ποῦ, τέκνον; ἔφη. Ἐν τῷ μεσογαίῳ οἰκήματι, ἡ παῖς ἀντεπάγει, ὃν ἐκ τοῦ πλοίου τῇ χθὲς ὀψισθέντα καθυπεδέξω. Καὶ παρευθὺς τὸν Ἀπόστολον προσκληθῆναι κελεύει. Καὶ τούτοις τὸν ἡδὺν τῆς ἀληθείας ὁ προσκληθεὶς ἐνειράμενος λόγον, πονοικὶ καταθέλξας ἐβάπτισε. Τῇ δὲ κόρῃ, τοῦ ὀφθαλμοῦ ἐπιζητοῦντος τὴν ἴασιν τοῦ πατρὸς αὐτῆς, ἔφη ὁ Ἀπόστολος· Σοὶ τὴν ἐπιστήμην τῆς ὑγείας χαρίσομαι καὶ πᾶσι τοῖς προδεξαμένοις τὸ χάρισμα τοῦ Βαπτίσματος. Πρωίας ἀναστᾶσα, ὦ Κόρη, τῷ πάσχοντι ὀφθαλμῷ τὸν Χριστὸν ὀνομάσασα, τὴν χεῖρα ἐπίθες, καὶ ἄρτιος ὁ βεβλαμμένος ὀφθαλμὸς γενήσεται. Οὕτως ἡ μαθήτρια ποιήσασα, ὡς ὁ διδάσκαλος ὑπέθετο, τὸ οἰκεῖον ἐθεράπευσε πάθος. Καὶ ἔκτοτε ἡ σοφὴ Χαριτίνα, συνεργίᾳ τοῦ πατρὸς αὐτῆς Νικοκλέους, ὀπαδὸς τοῦ Ἀποστόλου ἐγένετο, δοξάζουσα σὺν αὐτῷ καὶ εὐλογοῦσα τὸν Θεόν.

Τὴν δὲ Ἱεράπολιν καταλαβὼν ὁ Ἀπόστολος Φίλιππος, ἐδίδασκε τοῖς συνεπομένοις αὐτῷ μὴ ἐκκακεῖν τοῖς πειρασμοῖς. Καὶ ἐπὶ τούτῳ οἱ ἐγχώριοι δολοφονῆσαι τοῦτον ἐβούλοντο ὡς ἀπατεῶνα, προφάσει μὴ καὶ τὰς αὐτῶν γυναῖκας ἀπατηθῆναι, ὥς περ καὶ ἄλλων πολλῶν. Ἥρως δέ τις τῶν πολιτῶν, τὴν τύχην αἰδεσιμώτερος, ἐξᾶραι θέλων τοῦ λιθασμοῦ τὸν Ἀπόστολον, πρὸς τοὺς σὺν αὐτῷ πιθανολογούμενος, οὕτω πως ἔφη· Ἄνδρες πολῖται, τὸ ὑπ᾽ ἐμοῦ βουλευόμενον μάθετε· μηδὲν ἡμῖν ἄδικον καὶ τῷ ξένῳ ἀνδρί· ἀλλ᾽ εἰ δοκεῖ, τὴν αὐτοῦ διδασκαλίαν δοκιμάσωμεν, εἴγε εἰς ψυχικὴν περιποίησιν ἔσται· καὶ ὡς ἐπισήμῳ τῷ Ἥρωι ἀντειπεῖν οὐκ ἐτόλμησαν. Καὶ αὐτὸς πρῶτος τῶν ποδῶν τοῦ Ἀποστόλου δραξάμενος, ἐδυσώπει τὸν Ἅγιον εἰς τὴν οἰκίαν αὐτοῦ καταλῦσαι. Καὶ ἀμφοτέρων ἀφικομένων, Μάρκελλα, ἡ τοῦ Ἥρωος γαμετή, ἐδυσφόρει κατὰ τοῦ συνεύνου, λύσιν τοῦ συνοικεσίου

ζητοῦσα, καὶ τὴν ἀντιστροφὴν τῆς προικός, εἰμὴ τῆς οἰκίας ἔξω βάλῃ τὸν Φίλιππον. Ἐπεὶ δὲ ἐναγώνιον ὁ Ἀπόστολος τὸν Ἥρωα ἑωράκει, αὐτὸν παρεθάῤῥυνεν ἐπιμένειν τῇ πίστει. Αὐτὸς δὲ γόνυ κλίνας καὶ προσευξάμενος, τὴν πρὸ μικροῦ χαλεπαίνουσαν, οἰκέτιν τοῦ ταύτης ἀνδρὸς παρεσκεύασεν, Ὦ ἄνερ γλυκύτατε, λέγουσαν, πόθεν ὁ θαυμαστὸς οὗτος ἐγένετο ἄνθρωπος; ὡς ἡδὺς ὁ τούτου λόγος, καὶ ἡ τῶν ἠθῶν κατάστασις· Μεγάλου Θεοῦ, ὁ Ἥρως ἔφησε, καταγγελεὺς οὗτος, ὦ γύναι, καὶ αἰωνίου βασιλείας προξενητής· καὶ εἰ δοκεῖ, ἀνενδοιάστως προσέλθωμεν τῷ τούτου Θεῷ. Καὶ ἄμφω προσπεσόντες τῷ Ἀποστόλῳ, πανοικὶ λαμβάνουσι τὴν ἐξ ὕδατος καὶ Πνεύματος ἀναγέννησιν. Ἐκ δὲ τούτου πολλοὶ τῆς περιοικίδος χώρας πρὸς Κύριον μετετάξαντο.

Ἀλλ᾽ ὁ τῆς κακίας ἐφευρετής, ὡς ἑαυτὸν ἡττώμενον εἶδε, καὶ τοὺς ἑαυτοῦ ἐζωγρημένους, πυρπολῆσαι τὴν οἰκίαν τοῦ Ἥρωος ἤγειρε. Καὶ γνοὺς τῷ πνεύματι ὁ Ἀπόστολος, ἀτρόμως ἔξεισι πρὸς αὐτούς· ὃν ἀνημέρως κρατήσαντες, εἰς τὸ δικαστικὸν βουλευτήριον ἤγαγον. Ἐμβριθῶς δὲ τῷ Ἀποστόλῳ Ἀρίσταρχος ὁ ἔξαρχος τοῦ βουλευτηρίου προσχών· Οἶδά σε ταῖς μαγείαις ἐναβρυνόμενον, ἔλεγεν· ἀλλ᾽ εἰμὴ ἀποθέμενος ταύτας ἔσῃ, λιθασμῷ πικρῷ σε ἀπολέσω· τὰ γὰρ περὶ τοῦ σταυρωθέντος Θεοῦ σου εὐκαίρως ἐπιζητήσωμεν λόγῳ. Καὶ τῆς Ἀποστολικῆς δραξάμενος κόμης, ὠθῶν αὐτὸν προσεπηλάκιζεν. Ἀριστάρχου δὲ τὸ ἄτακτον ἐπιτεχνευσάμενος σωφρονίσαι ὁ μακάριος Φίλιππος, ἴσως καὶ διὰ τοὺς παρατυγχάνοντας, ἵνα γνῶσιν ὅτι δυνατοῦ Θεοῦ ἐστιν ὑπηρέτης, εἰς ἐπήκοον πάντων οὕτω πως ἐξεφώνησεν· Ὁ τὰς καρδίας ἡμῶν πλάσας καταμόνας, καὶ τὰς κινήσεις αὐτῶν πρὸς ὅποι συνιὼν τρεπομένας, τὸν ἐκ τῆς ἐμῆς καρδίας, ὡς ὀργῆς ἀμέτοχον, ἀναγόμενον λόγον ἔργῳ πλήρωσον, Κύριε, καὶ γενέσθω πᾶσι σωφρονισμός. Ἡ προταθεῖσα χεὶρ ἐπὶ τὴν κόμην, ἧς ἡγίασας κεφαλῆς, παρεθήτω. Ἐπηκολούθει δὲ τῷ λόγῳ ἡ τοῦ ἀτάκτου διαστροφὴ τῶν μελῶν. Παρευθὺς γὰρ ἡ τούτου ἀπεξηράνθη χείρ, καὶ ὁ πρὸς αὐτὴν ὀφθαλμὸς ἀποτετύφλωτο καὶ κατ᾽ ἄμφω κεκώφωτο τοῖς ὠσί. Τοῦτο τοὺς συνειλεγμένους ἐξέστησε, καὶ μετὰ δέους ἱκέτευον δοῦναι συγγνώμην τῷ πλημμελήσαντι. Καὶ ὁ Ἀπόστολος πρὸς αὐτούς· Αἱ τῶν μελῶν διαστροφαὶ ἀνθρωπίνης βοηθείας ἐπαποροῦσιν· ὁ γὰρ τούτων διαρθρωτὴς εἷς ἐστιν, ὁ ἐκ χοὸς καταρχὰς διαρθρώσας τὸν ἄνθρωπον· ᾧ εἰμὴ προσέλθητε, καὶ αὐτὸς ὁ παθών, οὐ τεύξεται τῆς ἰάσεως.

Καὶ πρὸς τούτῳ, τεθνεώς τις ἐξεκομίζετο πρὸς ταφήν· καὶ κατασχόντες τὴ κλίνην οἱ συμπαρόντες Ἀριστάρχῳ, χλευάζοντες ἔλεγον τῷ Ἀποστόλῳ· Εἰ τοῦτον ἐγερεῖς, πάντες σὺν Ἀριστάρχῳ προσκυνήσωμεν τῷ Θεῷ σου. Ὁ δὲ Ἅγιος πρὸς οὐρανοὺς τοὺς ὀφθαλμοὺς ἀτενίσας, προσυήξατο ἐφ᾽ ἱκανόν· καὶ πρὸς τὸν βεβλημένον τῇ κλίνῃ πραείᾳ τῇ φωνῇ λέγει· Θεόφιλε· καὶ εὐθὺς ἀνεκάθισε, καὶ τοὺς ὀφθαλμοὺς ὑπενέῳξε. Καὶ προσθεὶς ὁ Ἀπόστολος, εἶπεν· Ὁ Χριστὸς σοὶ κελεύει ἀνάστηθι, καὶ ἀκωλύτως προσομίλει. Ὁ δέ, ἀποβὰς τῆς κλίνης, τῷ Ἀποστόλῳ προσέπεσε λέγων· Εὐχαριστῶ σοι, Ἅγιε τοῦ Θεοῦ, ὅτι ἐκ πολλῶν κακῶν ἐῤῥύσω με τῇ ὥρᾳ ταύτῃ. Ὑπὸ δύο γὰρ ἐζοφωμένων καὶ δυσειδῶν καὶ ἀσπλάγχνων ἐξελκόμενος βιαίως, ἔτι μικρόν, εἰ οὐκ ἔφθασας, ἀπερῥίφην ἂν εἰς τάρταρον δυσειδῆ καὶ ὀλέθριον. Τότε τὸ παράδοξον τοῦτο ἐξέστησε πάντας, λέγοντας· Πῶς, ὃν οὐδέ ποτε εἶδεν, ἐξ ὀνόματος φωνήσας ἀνέστησεν; ἐπ᾽ ἀληθείας, ὃν ἰσχυρῶς καὶ λέγει καὶ

κηρύττει καὶ Θεὸν καταγγέλλει, δυνατὸς καὶ ἀληθής ἐστι, καὶ ἡμεῖς ἀδιστάκτως προστρέχομεν καὶ πιστεύομεν.

Καὶ τῇ χειρὶ ὁ Ἀπόστολος κατασιγήσας τὸν θόρυβον διακελεύεται τῷ Ἥρωι· Ἐπὶ Ἀριστάρχῳ τῇ χειρί σου σταυροῦ τύπον ἐπιχαράξας, τῷ τῆς Ἁγίας Τριάδος ὀνόματι, τῶν μελῶν τὰ βλαβέντα ἐκ τῆς αὐτῶν ἀφελείας ἀνόρθωσον. Καὶ τοῦτο ποιήσας ὁ Ἥρως, τὸν Ἀρίσταρχον ἐπετέλεσεν ἄρτιον. Ἐπὶ τούτῳ πάντες τῷ Ἀποστόλῳ προσπίπτουσιν, ἐν οἷς καὶ Πρέφευκτος, ὁ τοῦ ἐκ νεκρῶν ἀναστάντος γενέτης, τὰ πρῶτα ἐπὶ πᾶσι φέρων τοῖς συνειλεγμένοις, σὺν τῇ γαμετῇ προσῆλθε τῷ Ἀποστόλῳ. Καὶ τῆς κατηχήσεως εὐμαρῶς τὸν λόγον δεξάμενος, εἰς βεβαίαν τῆς ἑαυτοῦ πίστεως ἔνδειξιν, τοὺς ὑπ᾽ αὐτοῦ σεβομένους δώδεκα χρυσέους θεούς, τῶν ἐνδεῶν εἰς διανομὴν τῷ Ἀποστόλῳ γενέσθαι προτίθησιν. Οὐ μὴν δέ, ἀλλὰ καὶ τὰ περιλειφθέντα καλῶς οἰκονομήσας, τῆς ὀρθῆς ἀδιστάκτως εἴχετο πίστεως. Καταρτίσας δὲ ὁ Ἀπόστολος τοὺς ἐκεῖσε πάντας πρὸς τὴν ὀρθόδοξον πίστιν, τὸν Ἥρωα τούτοις χειροτονήσας Ἐπίσκοπον, καὶ πρεσβυτέρους καὶ διακόνους ἐξ αὐτῶν· ἔτι δὲ καὶ ναοὺς προστάξας γενέσθαι καὶ τούτους καθιδρύσας καὶ πάντας κατηχήσας, καὶ ἐπευξάμενος, αὐτὸς ἐν Φρυγίᾳ προσέβαλεν, ἅμα τῇ Λυκαονίᾳ καὶ τῇ Ἀσίᾳ, κηρύττων καὶ εὐαγγελιζόμενος τὸν Χριστόν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ εὐσεβοῦς βασιλέως Ἰουστινιανοῦ α΄ (†565) καὶ τῆς συζύγου αὐτοῦ Θεοδώρας (†548).

Στίχ. Ἰουστινιανὸς σὺν τῇ Θεοδώρᾳ,
Μέτοχοί εἰσι Βασιλείας τῆς ἄνω.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς ἁγίας μάρτυρος Βενεράνδας (Veneranda, Venera), ἀθλησάσης ἐν Γαλλίᾳ. (β΄ αἰ.)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου Βενεράνδου (Venerandus), ἐπὶ Αὐρηλιανοῦ ἀθλήσαντος ἐν Τρικασσίῳ (Tricassium, Troyes) ἐν Γαλλίᾳ. (†275)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου Ἰουκούνδου (Jucundus), ἐπισκόπου Βονονίας (Bologna) ἐν Ἰταλίᾳ. (†485)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου Δουβρικίου (Dubricius), ἐπισκόπου Χερεφόρδου (Hereford) καὶ Γουέντου (Gwent) ἐν Ἀγγλίᾳ. (†550)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου Σιδωνίου (Sidonius), ἡγουμένου ὁμωνύμου μονῆς (Saint-Saëns) ἐν Γαλλίᾳ. (~†690)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου Μακλοβίου (Maclovius, Malo) ἐπισκόπου ἐν Βρεττάνῃ. (ζ΄ αἰ.)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου Ἀλβερίκου (Alberic), ἐπισκόπου Οὐτρέχτης (Utrecht) ἐν Κάτω Χώραις. (†784)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου Μοδανικοῦ (Modanic), ἐπισκόπου ἐν Σκωτίᾳ. (η΄ αἰ.)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Εὐφημιανοῦ, ἀσκήσαντος ἐν Κύπρῳ. (ιβ΄ αἰ.)

Στίχ. Εὐφημιανὸς ἀσκήσας ἐν τῇ Κύπρῳ,
Ἐδὲμ εὕρατο ἀνάπαυσιν τῶν κόπων.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου, ἀρχιεπισκόπου Θεσσαλονίκης τοῦ θαυματουργοῦ, τοῦ Παλαμᾶ. (†1340)

Στίχ. Φωτὸς λαμπρὸν κήρυκα νῦν ὄντως μέγαν,
Πηγὴ φάους ἄδυτον ἄγει πρὸς φέγγος.

Θεῷ συνήφθης γρηγορῶν φερωνύμως,
Καὶ ζῇς μεταστάς, θαυματουργεῖς δ' ἐν τάφῳ.

Τίς ἄν σε, Γρηγόριε, τίς ἐπαινέσαι;
Τιμῆς Θεοῦ λαχόντα τῆς ἐκ θαυμάτων.

Γρηγόριος θάνεν ἀρχιθύτης, τετάρτῃ δεκάτῃ τε.

Ἔτι δὲ καὶ τῶν λοιπῶν μελῶν τῆς οἰκογενείας αὐτοῦ, ἤτοι τῶν γονέων Κωνσταντίου καὶ Καλλονῆς καὶ τῶν αὐταδέλφων αὐτοῦ ὁσίων Θεοδοσίου καὶ Μακαρίου καὶ Ἐπιχάρεως καὶ Θεοδότης.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Φιλίππου, κτίτορος τῆς μονῆς Ἁγίας Τριάδος ἐν Ἰράπ, πλησίον τοῦ Νόβγκοροντ. (†1527)

Στίχ. Τριάδα ἔχει ὁ Φίλιππος χρεῶστιν,
Ἣ ἀνέθετο Μονὴν εὐαγεστάτην.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου νεομάρτυρος Κωνσταντίνου τοῦ Ὑδραίου, ἐν Ῥόδῳ μαρτυρήσαντος καὶ ἀγχόνῃ τελειωθέντος. (†1800)


Στίχ. Ὕδρᾳ ἀνύδρῳ νῦν ῥέει ξένον,
Τῶν ἰαμάτων ἐκ σοροῦ Κωνσταντίνου.


Ταῖς αὐτῶν πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

* * *

Ὁ Εἱρμός τῆς η΄ ᾠδῆς.

Ἦχος πλ. δ΄





Ὁ διάκονος· Τὴν Θεοτόκον ἐν ὕμνοις μεγαλύνομεν.

ΠΡΟΣΟΧΗ


ΣΤΟΝ ΒΟΥ΄ ΤΟΥ΄ ΠΛ.Β΄ ΗΧΟΥ΄ ΤΟΠΟΘΕΤΟΥΜΕ ΤΟΝ ΠΑ ΤΟΥ΄ Β΄ ΗΧΟΥ΄ ΩΣ ΕΙΘΙΣΤΑΙ ΣΤΙΣ ΚΑΤΑΒΑΣΙΕΣ ΤΩΝ ΘΕΟΦΑΝΕΙΩΝ.

Η ΩΔΗ ΤΗΣ ΘΕΟΤΟΚΟΥ΄

Ἦχος Πα


1


Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ Σωτῆρι μου.



2


Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης Αὐτοῦ ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.






3

Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατὸς καὶ ἅγιον τὸ ὄνομα Αὐτοῦ, καὶ τὸ ἔλεος Αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις Αὐτόν.




4

Ἐποίησε κράτος ἐν βραχίονι Αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.




5

Καθεῖλε δυνάστας ἀπὸ θρόνων καὶ ὕψωσε ταπεινούς πεινῶντας ἐνέπλησεν ἀγαθῶν καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς.





6

Ἀντελάβετο Ἰσραὴλ παιδὸς Αὐτοῦ, μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραάμ καὶ τῷ σπέρματι Αὐτοῦ ἕως αἰῶνος.




ᾠδὴ θ΄





καὶ τὸ Ἄξιον ἐστίν:

Ἦχος Πα



Συναπτὴ μικρά, μεθ' ἣν ἐκφώνησις·


Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις...


* * *

ΤΑ ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ

Τοῦ Ἀποστόλου.


Ἐν Πνεύματι τῷ ἱερῷ. Ἦχος Γα






Ἕτερον.

Ὁ οὐρανὸν τοῖς ἄστροις. Ἦχος Γα





Θεοτοκίον. Ὅμοιον.



Εἰς τοὺς Αἴνους.

Ἦχος Πα





Εἰς τοὺς Αἴνους, ἱστῶμεν Στίχους δ΄, καὶ ψάλλομεν Στιχηρὰ προσόμοια γ΄, δευτεροῦντες τὸ α΄.

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Στίχ. α΄. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ· αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Τῶν οὐρανίων σου φθόγγων τὰ ἀπηχήματα, ἐπὶ τῆς γῆς παμμάκαρ, διεχύθη καὶ ταύτην, ἐπλήρωσε δογμάτων· δι᾽ ὧν τὸν Υἱόν, τῷ Πατρὶ καὶ τῷ Πνεύματι, θεολογοῦντες Ἀπόστολε μυστικῶς, ὁμοούσιον δοξάζομεν.

Στίχ. β΄. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος· αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Τῶν οὐρανίων σου φθόγγων ...


Στίχ. γ΄. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ· αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.


Ὡς ἑωσφόρον σε πάντες τῶν Ἀποστόλων Χριστοῦ, καὶ φαεινὸν λαμπτῆρα, τῆς σεπτῆς Ἐκκλησίας, Φίλιππε τρισμάκαρ, ἔχοντες νῦν, τὰς ψυχὰς φωτιζόμεθα, καὶ ἐκ κινδύνων λυτρούμεθα δυσχερῶν, ταῖς πρεσβείαις σου πανεύφημε.

Στίχ. δ΄. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις· αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Διὰ σταυροῦ τὸν ἀγῶνα τὸν τῆς ἀθλήσεως, διηνυκὼς τῆς νίκης, ἀνεδήσω στεφάνους, Φίλιππε ἀξίως· μεθ᾽ ὧν εἰσελθών, εἰς τὰ ἄνω βασίλεια, συμπαρεδρεύεις Ἀπόστολε τῷ Χριστῷ, καὶ πρεσβεύεις τοῦ σωθῆναι ἡμᾶς.


Ἦχος Δι





Καὶ νῦν. Θεοτοκίον.

Ἦχος Δι





* * *


Καὶ εὐθὺς ψάλλεται εἰς τὸν αὐτὸν ἦχον


Η ΜΕΓΑΛΗ ΔΟΞΟΛΟΓΙΑ


Δοξολογία Ἰωάννου Καββάδα, ἦχος Δι




δο ξο λο γϑ μεν σε ευ χα ρι στϑ μεν σοι δι α την με
γα α λην σϑ δο ο ξαν
Κ υ ρι ε βα σι λευ ε πϑ ρα νι ε Θε ε ε Πα
τερ παν το κρα α τορ Κυ ρι ε Υι ε μο νο γε νες Ι
η σϑ Χρι στε και Α α γι ον Πνε ευ μα
Κ υ ρι ε ο Θε ος ο α μνος τϑ Θε ου ο Υι
ος τϑ Πα τρος ο αι ρων την α μαρ τι αν τϑ κο
ο ο σμϑ ε λε η σον η μας ο αι αι ρων
τας α μαρ τι ας τϑ κο ο σμϑ
Π ροσ δε ξαι την δε η σιν η μων ο κα θη με νος
εκ δε ξι ων του Πατρος και ε λε η σον η μας
Ο τι συ ει μο νος Α γι ος συ ει ει μο νος Κυ
ρι ος Ι η σϑς Χρι στος εις δο ο ξαν Θε ου Πα τρος
α μην
Κ αθ ε κα στην η με ραν ευ λο γη σω σε και αι
νε ε σω το ο νο μα α σϑ εις τον αι ω ω να



και εις τον αι ω να τϑ αι ω νος
Κ α τα ξι ω σον Κυ ρι ε εν τη η με ρα τα
αυ τη α να μαρ τη τϑς φυ λα χθη η ναι η μας
Ε υ λο γη τος ει Κυ ρι ε ο Θε ος των Πα
τε ρων η μων και αι νε τον και δε δο ξα σμε ε νον
το ο νο μα α σϑ εις τϑς αι ω ω νας α μην
Γ ε νοι το Κυ ρι ε το ε λε ος σϑ εφ η μας κα
θα περ ηλ πι σα μεν ε πι σε
Ε υ λο γη τος ει ει Κυ ρι ε δι δα ξο ον με τα
δι και ω μα τα α σϑ
Κ υ ρι ε κα τα φυ γη ε γε νη θης η μιν εν γε νε
α και γε νε α ε γω ει πα Κυ ρι ε ε λε η
σο ον με ι α σαι την ψυ χη ην μϑ ο τι η μαρ το ον
σοι
Κ υ ρι ε προς σε κα τε φυ γον δι δα ξον με τϑ
ποι ειν το θε λη μα α σϑ ο τι συ ει ο Θε ο ος


μϑ
Ο τι πα ρα σοι πη γη ζω ης εν τω φω τι
ι σϑ ο ψο ο με θα φως
Π α ρα τει νον το ε λε ο ος σϑ τοις γι νω σκϑ
σι ι σε Α γι ος ο Θε ος Α γι ος ι σχυ ρος
Α γι ος α θα να τος ε λε η σον η μας
Δ ο ξα Πα τρι και Υι ω και Α γι ω Πνευ μα τι
Κ αι νυν και α ει και εις τϑς αι ω νας των αι
ω ω νων α μην
Α γι ος α θα να τος ε λε η σον η μας
Α α α α α γι ο ος ο Θε ε ος Α α α α
α γι ο ος ι σχυ υ ρος Α γι ο ο ος α θα α
α α να α α α τος ε λε ε η η σο ο ο ον
η η η η μα α α ας
Ση η με ρον σω τη ρι α τω κο σμω γε ε γο
νεν α σω μεν τω α να σταν τι εκ τα φϑ και αρ



Τὸ ἀπολυτίκιον

Ἦχος Γα




* * * * *

ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Ὁ διάκονος τὰ εἰρηνικὰ

Τὰ ἑξαπλᾶ.


Ἦχος Νη






Τὰ Ἁγιορείτικα (καταγραφὴ Μελετίου Συκιώτου).

Ἦχος πλ. Νη














Ἀθανασίου Καραμάνη.

Ἦχος πλ. Νη














καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν·

Ὅτι πρέπει σοι πᾶσα δόξα...

Ἀντίφωνον Α΄. Ἦχος β΄. Ψαλμὸς ρια΄ (91).


Ἦχος Δι

Στίχ. α΄. Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ καὶ ψάλλειν τῷ ὀνόματί σου, Ὕψιστε. (ρια΄ 2)






Στίχ. β΄. Τοῦ ἀναγγέλλειν τῷ πρωὶ τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα. (ρια΄ 3)






Στίχ. γ΄. Ὅτι εὐφρανάς με, Κύριε, ἐν τοῖς ποιήμασί σου, καὶ ἐν τοῖς ἔργοις τῶν χειρῶν σου ἀγαλλιάσομαι. (ρια΄ 5)







Στίχ. δ΄. Ὅτι εὐθὺς Κύριος ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ. (ρια΄ 16)





Δόξα. Καὶ νῦν.






Ὁ διάκονος τὴν μικρὰν συναπτὴν καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν·


Ὅτι σὸν τὸ κράτος...

Ἀντίφωνον Β΄. Ἦχος πλ. α΄. Ψαλμὸς ϟβ΄ (92).


Στίχ. α΄. Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο· ἐνεδύσατο Κύριος δύναμιν καὶ περιεζώσατο. (ϟβ΄ 1)




Στίχ. β΄. Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται. (ϟβ΄ 1)




Στίχ. γ΄. Θαυμαστοὶ οἱ μετεωρισμοὶ τῆς θαλάσσης, θαυμαστὸς ἐν ὑψηλοῖς ὁ Κύριος. (ϟβ΄ 4)





Στίχ. δ΄. Τὰ μαρτύριά σου ἐπιστώθησαν σφόδρα· τῷ οἴκῳ σου πρέπει ἁγίασμα, Κύριε, εἰς μακρότητα ἡμερῶν. (ϟβ΄ 5)






Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.







Ὁ διάκονος τὴν μικρὰν συναπτὴν καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν·

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος...


Ἀντίφωνον Γ΄. Ἦχος γ΄. Ψαλμὸς πη΄ (88).

Ἦχος Γα


Στίχ. α΄. Ἐξομολογήσονται οἱ οὐρανοὶ τὰ θαυμάσιά σου, Κύριε, καὶ τὴν ἀλήθειάν σου ἐν ἐκκλησίᾳ ἁγίων.

Στίχ. β΄. Ὅτι τίς ἐν νεφέλαις ἰσωθήσεται τῷ Κυρίῳ; καὶ τίς ὁμοιωθήσεται τῷ Κυρίῳ ἐν υἱοῖς Θεοῦ;

Στίχ. γ΄. Ὁ Θεὸς ὁ ἐνδοξαζόμενος ἐν βουλῇ ἁγίων, μέγας καὶ φοβερὸς ἐπὶ πάντας τοὺς περικύκλῳ αὐτοῦ.



μὲ τέλος:




* * *

ΜΙΚΡΑ ΕΙΣΟΔΟΣ


Εἰσοδικόν. Ἦχος β΄.

(Ἐὰν εἰσοδεύουν πολλοὶ ἱερεῖς, ψάλλουν αὐτοὶ τὸ εἰσοδικόν).

Ἦχος Δι




ὁ β΄ χορός:



* * *


Ἦχος Γα



Εἶτα τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου τοῦ Ναοῦ.

Κοντάκιον τῶν Εἰσοδίων τῆς Θεοτόκου.
(ἀπὸ ἡ΄ ἕως κε΄ πλὴν τῆς κ΄ Νοεμβρίου).
(ψάλλεται ὑπὸ τῶν ἱερέων, ἐὰν τελεῖται συλλείτουργον)


Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ. Ἦχος Δι




* * *


ΤΡΙΣΑΓΙΟΣ ΥΜΝΟΣ


Ἦχος πλ. Δι





Τό τρίτον.













Τρισάγιον. Σύντομον.


Ἦχος Δι




Δύναμις τοῦ βήματος.

Ἦχος Δι











Ἕτερον ὑπό Γεωργίου Κρητός († 1816)

Ἦχος Δι





A
α α α α α α α α α α α α
α α α α α α γι ι ι ι ι ι ι ι
ι ι ι ι ι ι ι ι ι ι ι ι ι ι ι ι
ι ι ι ι ι ι ι α α α α α γι ι ο ο
ο ο ος ο ο ο Θε ο ο ο ο ο ο ο ο
ο ο ο ο ος


A
α α α α α α α α α α α α
α α α α α α γι ι ι ι ι ι ι ι
ι ι ι ι ι ι ι ι ι ι ι ι ι ι ι ι
ι ι ι ι ι ι ι α α α α α γι ο
ο ο ο ος ι ι ι σχυ ρο ο ο ο ο ο ο ο
ο ο ο ο ος


A
α α α α α γι ο ο ο ο ος α
θα α α α α α α α α α α α α α α θα
α να α α τος

E
λε ε ε ε λε ε ε η σον η μα α α



* * *

ΑΠΟΣΤΟΛΟΣ

Προκείμενον καὶ Ἀλληλούϊα Ἀποστολικά.

Ὁ ἀναγνώστης· Ψαλμὸς τῷ Δαβίδ. Προκείμενον ἦχος πλ. δ΄.

Ὁ διάκονος· Πρόσχωμεν.


Ὁ ἀναγνώστης τὸ προκείμενον καὶ τὸν στίχον αὐτοῦ.


Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ρήματα αὐτῶν.


Στίχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλει τὸ στερέωμα.


Ἢ ὁ ψάλτης.

Ἦχος πλ. Νη ϱ









Ὁ διάκονος· Σοφία.

Ὁ ἀναγνώστης·

Πρὸς Κορινθίους Αʹ Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κυριακῆς ιʹ ἐπιστολῶν.


Ὁ διάκονος· Πρόσχωμεν.

(δʹ 9-16).

Ἀδελφοί, ὁ Θεὸς ἡμᾶς τοὺς ἀποστόλους ἐσχάτους ἀπέδειξεν, ὡς ἐπιθανατίους, ὅτι θέατρον ἐγενήθημεν τῷ κόσμῳ, καὶ ἀγγέλοις καὶ ἀνθρώποις. Ἡμεῖς μωροὶ διὰ Χριστόν, ὑμεῖς δὲ φρόνιμοι ἐν Χριστῷ· ἡμεῖς ἀσθενεῖς, ὑμεῖς δὲ ἰσχυροί· ὑμεῖς ἔνδοξοι, ἡμεῖς δὲ ἄτιμοι. Ἄχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν καὶ διψῶμεν καὶ γυμνητεύομεν καὶ κολαφιζόμεθα καὶ ἀστατοῦμεν καὶ κοπιῶμεν ἐργαζόμενοι ταῖς ἰδίαις χερσί· λοιδορούμενοι εὐλογοῦμεν, διωκόμενοι ἀνεχόμεθα, βλασφημούμενοι παρακαλοῦμεν· ὡς περικαθάρματα τοῦ κόσμου ἐγενήθημεν, πάντων περίψημα ἕως ἄρτι. Οὐκ ἐντρέπων ὑμᾶς γράφω ταῦτα, ἀλλ᾽ ὡς τέκνα μου ἀγαπητὰ νουθετῶ. Ἐὰν γὰρ μυρίους παιδαγωγοὺς ἔχητε ἐν Χριστῷ, ἀλλ᾽ οὐ πολλοὺς πατέρας· ἐν γὰρ Χριστῷ Ἰησοῦ διὰ τοῦ εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα. Παρακαλῶ οὖν ὑμᾶς, μιμηταί μου γίνεσθε.

Ἀλληλούϊα (γʹ). Ἦχος αʹ. Ψαλμὸς πηʹ (88).

Ἦχος δ Κε





Εὐαγγέλιον.


Κυριακῆς Α΄ Νηστειῶν (Ἰω. α΄ 44-52).

Ἐκ τοῦ κατὰ Ἰωάννην Ἁγίου Εὐαγγελίου τὸ Ἀνάγνωσμα.


Τῷ καιρῷ ἐκείνῳ, ἠθέλησεν ὁ Ἰησοῦς ἐξελθεῖν εἰς τὴν Γαλιλαίαν· καὶ εὑρίσκει Φίλιππον καὶ λέγει αὐτῷ· ἀκολούθει μοι. Ἦν δὲ ὁ


Φίλιππος ἀπὸ Βηθσαϊδά, ἐκ τῆς πόλεως Ἀνδρέου καὶ Πέτρου. Εὑρίσκει Φίλιππος τὸν Ναθαναὴλ καὶ λέγει αὐτῷ· Ὃν ἔγραψε Μωϋσῆς ἐν τῷ νόμῳ καὶ οἱ προφῆται εὑρήκαμεν, Ἰησοῦν τὸν υἱὸν τοῦ Ἰωσὴφ τὸν ἀπὸ Ναζαρέτ. Καὶ εἶπεν αὐτῷ Ναθαναήλ· Ἐκ Ναζαρὲτ δύναταί τι ἀγαθὸν εἶναι; Λέγει αὐτῷ Φίλιππος· Ἔρχου καὶ ἴδε. Εἶδεν ὁ Ἰησοῦς τὸν Ναθαναὴλ ἐρχόμενον πρὸς αὐτὸν καὶ λέγει περὶ αὐτοῦ· Ἴδε ἀληθῶς Ἰσραηλίτης, ἐν ᾧ δόλος οὐκ ἔστι. Λέγει αὐτῷ Ναθαναήλ· Πόθεν με γινώσκεις; Ἀπεκρίθη ὁ Ἰησοῦς καὶ εἶπεν αὐτῷ· Πρὸ τοῦ σε Φίλιππον φωνῆσαι, ὄντα ὑπὸ τὴν συκῆν εἶδόν σε. Ἀπεκρίθη Ναθαναήλ καὶ λέγει αὐτῷ· Ῥαββί, σὺ εἶ ὁ υἱὸς τοῦ Θεοῦ, σὺ εἶ ὁ βασιλεὺς τοῦ Ἰσραήλ. Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ· Ὅτι εἶπόν σοι, εἶδόν σε ὑποκάτω τῆς συκῆς, πιστεύεις; μείζω τούτων ὄψῃ. Καὶ λέγει αὐτῷ· Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἀπ᾽ ἄρτι ὄψεσθε τὸν οὐρανὸν ἀνεῳγότα καὶ τοὺς ἀγγέλους τοῦ Θεοῦ ἀναβαίνοντας καὶ καταβαίνοντας ἐπὶ τὸν υἱὸν τοῦ ἀνθρώπου.


Ἦχος



Χερουβικόν, Ἰωάννου Ἀρβανίτη, ἦχος





ως ει κο ο νι ι ι ι ι ι ι ι ζο ο ο
ο ο ει κο ο νι ι ι ι ι ι ζο ο ον
τε ε ε ε ε ε ε ε ες και αι αι αι
τη η η η ζω ο ο ο ποι οι οι οι οι οι οι
ζω ο ο ποι οι ω ω Τρι ι α α α α α α α
α α α α α α α α α α α α Τρι α α
α α δι ι το ον τρι ι σα α α α
γι ι ι ι ο ο ο ον υ υ υ μνο ο ο ο ον
προ σα α α δο ο ο υ μνον προ ο σα α α
δο ο ον τε ες πα α α α α α σα α α α
αν την βι ι ω τι ι κη η η η η η η ην α
πο ο θω ω ω ω ω ω με ε ε ε ε θα α με ε
ρι ι ι μνα α α α α α α α α α αν
Ω ς τον βα σι ι λε ε ε ε ε ε ε
ε ε ε ε ε ε ε βα α σι ι λε ε ε
ε ε ε ε α



Τὰ Λειτουργικὰ,
ὡς διασώθηκαν ἐν τῇ Μεγάλῃ τοῦ Χριστοῦ Ἐκκλησίᾳ,
κατὰ παράδοσιν ἀρχαιοτάτην. Καταγραφὴ Κ. Ψάχου.

Ἦχος





Τὸ Σύμβολον τῆς πίστεως.

Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα, παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων. Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν Υἱὸν τοῦ Θεοῦ τόν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων· φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί, δι᾽ οὗ τὰ πάντα ἐγένετο. Τὸν δι᾽ ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς Παρθένου καὶ ἐνανθρωπήσαντα. Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου καὶ παθόντα καὶ ταφέντα. Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφάς. Καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός. Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος. Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ Κύριον, τὸ ζωοποιόν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ


συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν. Εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν. Ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν. Προσδοκῶ ἀνάστασιν νεκρῶν καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.


* * *






Γρηγορίου Πρωτοψάλτου. Ἦχος Δι







Τῇ Πέμπτῃ. Κοινωνικόν. Πέτρου Λαμπαδαρίου.

Ἦχος πλ. Δ Νη





Πα Δι
ε ε ε ε ε ε ε ε χε ε ε ε ε ε ε
ε ε ε ε ε ε ιε ε ε ε ε ε ε ε ε
Πα
ε ρα α α α εις τα πε ε ρα τα α α α α
Βϐ
α α τηϛ οι ϙοι οι οι οι κου ου ου ου τηϛ οι οι
Πα
κου ου ου με ε ε ε ε ιε ε ε ε ε ε ε
Νη
ε ε ε ε ε ε ε ε ε ε ε ε ε χε ε
Βϐ
ε ε τηϛ οι οι οι κου ου με ε ε ε ε ε νη
Δι
ηϛ τα α α ρη η η η η η η η η η η
η η η η η η η η η η η η η τα
Πα
ρη η η η η η η μα α α α α ϙα α α α
Νη M
α α α α α α α α α α χα α α α α α
α α α α α α α α α α α α α α α α
α α α τα ρη η μα τα α α α α α ϙα α α
Α
α α α αυ τω ω ϙω ω ω ω ων ιε ε ε
Πα Νη
ϙα ιε ϙα ιε ιε ϻα ϙα ιε ε τα ιε ε ε ϙα
ιε ϙα ιε ιε ϻα ϙα ιε ε ε ιε ϙα ϙα ιε ε ιε




Ἐκ τοῦ Ταμείου Ἀνθολογίας Θεοδώρου παπα-Παράσχου, Φωκαέως, μετὰ σημάνσεως τῶν ῥυθμικῶν ποδῶν καὶ τῶν ἔλξεων, ὡς καί τινων ἄλλων σημείων, παρὰ Ἰωάννου Β. Ἀρβανίτη, μουσικοδιδασκάλου.


ΑΘΗΝΑΙ 2003

Ἦχος Δι




Ἦχος Δι




με ε ραν με λε των τας την δι και ο συ υ νην σθ
Α λλη λθ ϊ α Α λλη λθ ϊ α Α λλη
λθ ϊ α α α

Ἦχος δι


Ε
ι η το ο νο μα Κυ ρι θ ευ λο γη με
νον α πο τθ νυν και ε ως τθ αι ω ω νος (δὶς)
Το ο νο μα Κυ ρι θ ει η ευ λο γη
με ε ε ε ε νο ο ο ον α πο τθ νυν και ε ως
τθ αι ω ω νο ο ος